στικοὶ πιμελώδεις. ἡ δ' ἔμμηνος κάθαρσις οὐ πλήθους
ἀλλὰ διαφθορᾶς καὶ φαυλότητός ἐστιν αἵματος· τὸ γὰρ
ἄπεπτον αὐτοῦ καὶ περιττωματικὸν οὐκ ἔχον ἵδρυσιν
οὐδὲ σύστασιν ἐν τῷ σώματι δι' ἀσθένειαν ἐκπίπτει,
παντάπασιν ἀμβλὺ καὶ θολερὸν ἀρρωστίᾳ τοῦ θερμοῦ
γινόμενον· δηλοῖ δὲ καὶ τὸ ῥιγοῦν καὶ τὸ ὑποφρίττειν ὡς
ἐπὶ πολὺ τὰς καθαιρομένας, ὅτι ψυχρόν ἐστι καὶ ἄπεπτον
τὸ κεκινημένον καὶ ἀποχωροῦν ἐκ τοῦ σώματος. τὴν δὲ
ψιλότητα τίς ἂν εἴποι ⟨ὅτι⟩ θερμότητος οὐχὶ μᾶλλον
ψυχρότητός ἐστι τὸ πάθος, ὁρῶν τὰ θερμότατα τοῦ σώ-
E ματος μέρη δασυνόμενα; πάντα γὰρ ἐξωθεῖται τὰ τοιαῦτα
τῷ θερμῷ, χαράσσοντι καὶ ἀναστομοῦντι τὴν ἐπιφάνειαν.
ἡ δὲ λειότης πυκνότητι γέγονεν ὑπὸ ψυχρότητος· ὅτι δ'
εἰσὶ πυκνότεραι τῶν ἀνδρῶν, ὦ φίλ' Ἀθρυΐτε, πυθοῦ παρὰ
τῶν ἔτι συναναπαυομένων γυναιξὶν ἢ μύρον ἀληλιμμέναις ἢ
ἔλαιον· ἀναπίμπλανται γὰρ αὐτοὶ τοῦ χρίσματος ἐν τῷ
συγκαθεύδειν, κἂν μὴ θίγωσι μηδὲ προσάψωνται τῶν
γυναικῶν, διὰ θερμότητα καὶ μανότητα τοῦ σώματος
ἕλκοντος.'

F ΠΡΟΒΛΗΜΑ Ε

*Εἰ ψυχρότερος τῇ δυνάμει ὁ οἶνος*

Colloeuntur Athryitus, Plutarchus, Florus

**1.** 'Οὐ μὴν ἀλλὰ τὸ μὲν περὶ τῶν γυναικῶν' ἔφη 'καὶ πρὸς τοὐναντίον ἀνδρικῶς ἐπικεχείρηται. τὸν δ' οἶνον